## *ΠΟΛΥΔΩΡΟΣ*

1. *Πολύδωρος ὁ Ἀλκαμένους, ἀπειλοῦντός τινος τοῖς ἐχθροῖς συχνά, 'οὐ συνίης' ἔφη 'τῆς τιμωρίας τὸ πλεῖστον καταναλίσκων μέρος;'*

2. *Ἐξάγοντος δ' αὐτοῦ τὸ στράτευμα ἐπὶ Μεσσήνην, ἤρετό τις εἰ τοῖς ἀδελφοῖς μάχεσθαι μέλλει, 'οὐκ' ἔφη, 'ἀλλ' ἐπὶ τὴν ἀκλήρωτον τῆς χώρας βαδίζειν.'*

E 3. *Ἀργείων δὲ πάλιν μετὰ τὴν τῶν τριακοσίων μάχην ἐκ παρατάξεως πανδημεὶ κρατηθέντων, τὸν Πολύδωρον οἱ σύμμαχοι παρεκελεύοντο μὴ παριέναι τὸν καιρόν, ἀλλ' ἐπελθόντα τῷ τείχει τῶν πολεμίων τὴν πόλιν αἱρεῖν· ῥᾷστον γὰρ ἔσεσθαι, τῶν μὲν ἀνδρῶν ἀπολωλότων, τῶν γυναικῶν δ' ἀπολελειμμένων· ἔφη οὖν πρὸς αὐτούς 'τὸ μὲν ἐκ τοῦ ἴσου μαχόμενον νικᾶν τοὺς ἐναντιουμένους ἐστί μοι καλόν, τὸ δ' ὑπὲρ τῶν ὅρων τῆς χώρας μεμαχημένον τὴν πόλιν ἐπιθυμεῖν λαβεῖν οὐ δίκαιον τίθεμαι εἶναι· ἦλθον γὰρ χώραν ἀπολαβεῖν οὐ καταλαβέσθαι πόλιν.'*

4. *Ἐρωτηθεὶς δὲ διὰ τί Σπαρτιᾶται κατὰ πόλεμον* F *κινδυνεύουσιν ἀνδρείως, 'ὅτι' ἔφη 'αἰδεῖσθαι τοὺς ἡγεμόνας ἔμαθον, οὐ φοβεῖσθαι.'*

## *ΠΟΛΥΚΡΑΤΙΔΑΣ*

*Πολυκρατίδας πρεσβεύων πρὸς τοὺς βασιλέως στρατηγοὺς μεθ' ἑτέρων, ἐρομένων αὐτὸν πότερον ἰδίᾳ πάρει-*